25 καὶ κλῆρον ἀφανίσαι αὐτούς, [25]καὶ ὡς εἰσῆλθεν πρὸς τὸν βασιλέα
λέγων κρεμάσαι τὸν Μαρδοχαῖον· ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ
τοὺς Ιουδαίους κακά, ἐπ' αὐτὸν ἐγένοντο, καὶ ἐκρεμάσθη αὐτὸς καὶ
26 τὰ τέκνα αὐτοῦ. [26]διὰ τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται Φρουραι
διὰ τοὺς κλήρους, ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται Φρουραι, διὰ
τοὺς λόγους τῆς ἐπιστολῆς ταύτης καὶ ὅσα πεπόνθασιν διὰ ταῦτα
27 καὶ ὅσα αὐτοῖς ἐγένετο· [27]καὶ ἔστησεν καὶ προσεδέχοντο οἱ Ιου-
δαῖοι ἐφ' ἑαυτοῖς καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν καὶ ἐπὶ τοῖς προστε-
θειμένοις ἐπ' αὐτῶν οὐδὲ μὴν ἄλλως χρήσονται· αἱ δὲ ἡμέραι αὗται
μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν καὶ γενεὰν καὶ πόλιν καὶ
28 πατριὰν καὶ χώραν· [28]αἱ δὲ ἡμέραι αὗται τῶν Φρουραι ἀχθήσον-
ται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐτῶν οὐ μὴ ἐκ-
29 λίπῃ ἐκ τῶν γενεῶν. [29]καὶ ἔγραψεν Εσθηρ ἡ βασίλισσα θυγάτηρ
Αμιναδαβ καὶ Μαρδοχαῖος ὁ Ιουδαῖος ὅσα ἐποίησαν τό τε στερέωμα
31 τῆς ἐπιστολῆς τῶν Φρουραι. [31]καὶ Μαρδοχαῖος καὶ Εσθηρ ἡ βασί-
λισσα ἔστησαν ἑαυτοῖς καθ' ἑαυτῶν καὶ τότε στήσαντες κατὰ τῆς
32 ὑγιείας αὐτῶν καὶ τὴν βουλὴν αὐτῶν· [32]καὶ Εσθηρ λόγῳ ἔστησεν
εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.
10 [1]Ἔγραψεν δὲ ὁ βασιλεὺς τέλη ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς καὶ
2 τῆς θαλάσσης. [2]καὶ τὴν ἰσχὺν αὐτοῦ καὶ ἀνδραγαθίαν πλοῦτόν τε
καὶ δόξαν τῆς βασιλείας αὐτοῦ, ἰδοὺ γέγραπται ἐν βιβλίῳ βασιλέων
3 Περσῶν καὶ Μήδων εἰς μνημόσυνον. [3]ὁ δὲ Μαρδοχαῖος διεδέχετο
τὸν βασιλέα Ἀρταξέρξην καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ καὶ δεδοξα-
σμένος ὑπὸ τῶν Ιουδαίων· καὶ φιλούμενος διηγεῖτο τὴν ἀγωγὴν
παντὶ τῷ ἔθνει αὐτοῦ.

24 και κληρον] και εβαλεν φουρ ο εστιν κληρος O† | αφανισαι] απολεσαι AO† || 25 δε] τε O†, > A† | επι τους ιουδαιους] τους ιουδ. A*†, τοις ιουδαιοις Ac† | εγενετο A† | και paenult. > A† | fin.] + επι των ξυλων AO† || 26 αι ημ. αυται > A† | φρουραι 1⁰] φρουριμ Sc†, φουρουρειμ 93†, φουρειν 583(†): cf. 28. 29 10 3¹ | τη διαλεκτω αυτων καλουνται φρουραι] φουρ καλ. τη διαλ. αυ. 583 93†; φουρ pro φρουραι etiam Sc†; τη διαλ. αυ. / καλ. tr. etiam A† || 27 και 2⁰] + ως SA 583 93† | και 4⁰ > A† | τοις] pr. πασι(ν) O† | προτεθιμενοις A(†) | επιτελουμενον] > S*†, hab. Sc; -μεναι A 58 93† (A† etiam μνημοσυναι) | και γενεαν om., πολιν .. πατριαν tr. A† | και πολιν — fin.] πατριαν και πατριαν χωραν και χωραν πολιν και πολιν 93†: cf. 𝔐 28 || 28 των 1⁰] του A† | φρουραι] φρουρων S*†, φρουριμ Sc†, φουρουρειμ 93†, φουρειν 58(†): cf. 26 (1⁰) | εις > A 58 93† || 29 η βασιλ. > S† | αμιναδαν S† | ο ιουδαιος > S | εποιησεν S 58 93† | τε > A 58 93† | φρουραι] φρουρων S*†, φρουριμ Sc†, φουρουρειμ 93†, φουρειν 58†: cf. 28; φρουραια A†: cf. 10 3¹ || 31 αυτων paenult.] εαυ. BA† || 32 και 1⁰ > SA†

10 1 δε] γαρ A†: cf. 3 | βασιλευς] + αρταξερξης O† | τελη SA 58 93†] > rel. | τε > B || 2 ανδραγ.] pr. την S؛ | ιδου] > S†, pr. και A†, + ταυτα O-58† | βιβλιω] pr. τω A†, βιβλω S || 3 δε] τε S; γαρ A†: cf. 1 | μαρδοχαιος] + ο ιουδαιος O-58† | διηγειτο] δι > SA 58 93†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1024 UNIVERSITÄT LEIPZIG